ὑμῖν· ἐπὶ δὲ τοῦ τρίτου τό, τε λῆγον, καὶ τὸ παραλῆγον, βραχὺ, σφίσι. Τὸ δὲ τῆς Αἰτιατικῆς α, μακρὸν ἐπὶ πάντων. ἡμᾶς, ὑμᾶς, σφᾶς. Καὶ τὰ μονοσύλλαβα δὲ τοῦ τρίτου, βραχὺ ἔχουσι τὸ ι. νὶν, μίν.

## Τόνος, καὶ χρόνος Προθέσεως.

§. ψνθ΄. Πρόθεσις δὲ πᾶσα βαρύνεται, καὶ πᾶσα βραχυκαταληκτεῖ. Πλὴν τῆς εἰς. δῆλον δὲ τὸ τὰς Προθέσεις βαρύνεσθαι ἐκ τοῦ ἐπ᾽ ἐμοί. εἰ γὰρ ὠξυτονοῦντο, μετεφέρετ᾽ ἂν ἐπὶ τὸ ε ἡ ὀξεῖα. ὥσπερ κἀπὶ τοῦ, ἔπετ᾽ ἀτὰρ ὀγδοάτην.

## Τόνος καὶ χρόνος Ἐπιῤῥήματος.

§. ψξ΄. Τὰ δ᾽ Ἐπιῤῥήματα, ἐπειδὴ ἀπὸ Ὀνόματος, καὶ Ῥήματος, καὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ἐστι λαβεῖν τε, καὶ σχηματίσαι, οἷον, ἀπὸ μὲν τοῦ δικαίων ὀνόματος, δικαίως. ἀπὸ δὲ τοῦ αἴρει, ῥήματος, τὸ ἄρδην· ἀπὸ δὲ τῆς εἰδότων, μετοχῆς, εἰδότως. ἀπὸ δὲ τοῦ τῇ, ἄρθρου, τῇδε. ἀπὸ δὲ τῆς τούτων Ἀντωνυμίας, οὕτως ἀπὸ δὲ τῆς ἀνὰ προθέσεως, ἄνω ἀπὸ δὲ τοῦ ἐγγύς, Ἐπιῤῥήματος, ἐγγύθεν. ἀπὸ δὲ τοῦ δη, καί που, καί θεν, συνδέσμων, δήπουθεν. δῆλον, ὅτι καὶ ὁμοίως ἂν ταῖς ἀρχαῖς ἔχει τὸν τόνον, καὶ τὸν χρόνον, καὶ τὸ πνεῦμα. οἷον, τὸ δικαίως, ὡς τὸ δικαίων. καὶ τὸ πολλάκις, ὡς τὸ πολλά. Ἔνια μέν τοι καὶ διαφέρειν, οὐθὲν κωλύει. οἷον, ἐπὶ μὲν τοῦ τρία, καὶ τριὰς, τὸ ι, βραχύ. ἐπὶ δὲ τοῦ τρὶς, μακρόν. μεταβλητικὸν γὰρ ἐστιν οὐ ἡ παραγωγή. οἷον δὴ καὶ ἐπὶ τοῦ πνεύματος. τὸ μὲν γὰρ ἅμα δασύνεται· τὸ δὲ ἄμυδις, ψιλοῦται. σῴζει μὲν οὖν ἔνια ἐπὶ τῆς αὐτῆς,